*"Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος (Ψαλμ. 117, 14)*

*Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)*

*****************************************************************************

Δρος Χαραλάμπους Μ. Μπούσια
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

# ΕΙΣ ΤΟΝ ΕΝΔΟΞΟΝ ΑΠΟΣΤΟΛΟΝ

# Α Ν Δ Ρ Ε Α Ν

# ΤΟΝ ΠΡΩΤΟΚΛΗΤΟΝ

Ψαλλόμενος ἐν τῷ φερωνύμῳ αὐτοῦ Ναῷ ἐν Πλατεῖ Ἀγλαντζιᾶς

*

*

* * * * *

*

*

Ἀθῆναι 2015

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

# ΕΙΣ ΤΟΝ ΕΝΔΟΞΟΝ ΑΠΟΣΤΟΛΟΝ

# Α Ν Δ Ρ Ε Α Ν

# ΤΟΝ ΠΡΩΤΟΚΛΗΤΟΝ

**Ψαλλόμενος ἐν τῷ φερωνύμῳ αὐτοῦ Ναῷ ἐν Πλατεῖ Ἀγλαντζιᾶς**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

**********************************
*******************

**Εὐλογήσαντος τοῦ Ἱερέως τὸ Κύριε εἰσάκουσον μεθ' ὃ τὸ Θεὸς Κύριος, ὡς συνήθως, καὶ τὸ ἑξῆς·**

**Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Τοῦ Γαλιλαίου ἁλιέως, Ἀνδρέου,
ὅνπερ ἐζώγρησε Χριστοῦ ἡ σαγήνη
εἰς δρᾶσιν πρῶτον μέλψωμεν ἀποστολικήν,
Πέτρου τὸν αὐτάδελφον, τοῦ πρωτοκορυφαίου,
καὶ Κυπρίων ἄγρυπνον ἀρωγὸν καὶ προστάτην,
ὡς τοῦ Πλατέος νῦν Ἀγλαντζιᾶς
ἔφορον θεῖον καὶ ῥύστην ἐκ θλίψεων.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,
τὰς δυνασείας σου λαλεῖν οἱ ἀνάξιοι.
Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων ;
Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους ;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

**Εἶτα ὁ Ν΄ Ψαλμὸς καὶ ὁ Κανών, οὗ ἡ ἀκροστιχίς·**

**" Ἀνδρέου Ἀποστόλου ἱκεσίαις σπεύδω. Χ. Μ."**

## Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Ἀνδρέα, Πρωτόκλητε μαθητὰ
Χριστοῦ, ἐπευλόγει
τοὺς τιμῶντάς σε εὐλαβῶς
καὶ πλήρου αὐτῶν χαρᾶς καρδίας
ἐκδεχομένων σὴν θείαν ἀντίληψιν.

Νικήτορας δεῖξον κατὰ παθῶν
τοὺς πίστει, Ἀνδρέα,
σὲ ὑμνοῦντας ὡς νικητὴν
λαμπρὸν Αἰγεάτου, Ἀχαΐας
τυράννου, οἴμοι, τοῦ εἴδωλα σέβοντος.

Δραμὼν εἰς τὰ βάθη ἀνατολῆς
ἐκήρυξας χαίρων
τὴν ἀλήθειαν τοῦ Χριστοῦ,
Ἀνδρέα, προστάτα Βυζαντίου
καὶ ἀντιλῆπτορ Κυπρίων θερμότατε.

**Θεοτοκίον.**

Ῥανίδας ἀπόσμηξον τῶν πολλῶν
δακρύων μου, Μῆτερ,
μανδηλίῳ τῶν σῶν εὐχῶν
πρὸς Τόκον σου, Κεχαριτωμένη
Παραμυθία, τὸν ἄγαν φιλάνθρωπον.

## Ὠδὴ γ΄. Οὐρανίας ἀψῖδος.

Ἐνισχύων μὴ παύσῃ
τοὺς σοὺς θερμοὺς πρόσφυγας
ἐν τοῖς καθ’ ἡμέραν ἀγῶσι
βίου, Πρωτόκλητε
Ἀνδρέα, καὶ σῶν εὐχῶν
τῇ βακτηρίᾳ στηρίζων
κλονουμένους, στένοντας,
οἴμοι, καὶ κάμνοντας.

Ὀλετὴρ ἐπιβούλων
πιστοῦ λαοῦ τάχιστε
τῆς ἐλευθερίας, Ἀνδρέα,

στίφη ἐκδίωξον
ἀπίστων Ἄγαρ υἱῶν
ἐκ τῶν Κυπρίων τῆς νήσου,
ὡς φρουρὸν καὶ πρόμαχον
ἀνευφημούσης σε.

Ὑπερεύχου, Ἀνδρέα,
Βηθσαϊδᾶ βλάστημα,
ὁ ἐν οἰκουμένῃ ἁπάσῃ
κρίνα ἡδύπευστα
ἀνθήσας σαῖς διδαχαῖς
τῆς τοῦ Χριστοῦ ἀληθείας,
πάντων τῶν ἐν ᾄσμασι
μακαριζόντων σε.

**Θεοτοκίον.**

Ἀγλαὴ Θεοτόκε,
Χριστιανῶν καύχημα,
τῆς χαμαιζηλίας παθῶν μου
τάχος ἐξάρπασον,
Παραμυθία σεμνή,
καὶ ἀπαθείας πρὸς τρίβους
ἴθυνόν με, Δέσποινα,
Μῆτερ πανάχραντε.

Πρωτόκλητε
τῶν Ἀποστόλων Κυρίου, σοφὲ Ἀνδρέα,
ὁ Διδάσκαλον σὸν σεπτὸν ἡμῖν ἱλεούμενος,
τὴν χάριν σου δεῖξον σοῖς ὑμνηπόλοις.

Ἐπίβλεψον
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Αἴτησις καὶ τὸ Κάθισμα.**
**Ἦχος β΄. Πρεσβεία θερμή.**

Κυπρίων χοροὶ καὶ Βυζαντίου σύλλογοι
σὺν δήμοις πιστῶν Πατρέων εὐφημοῦντές σε,
θαυμαστὲ Πρωτόκλητε,
ἐκδεχόμεθα χάριν τὴν θείαν σου

καὶ ἐκ Πλατέος τῆς Ἀγλαντζιᾶς,
Ἀνδρέα, λαμβάνομεν τὰ πρόσφορα.

**Ὠδὴ δ΄. Εἰσακήκοα, Κύριε.**

Πέτρου θεῖε αὐτάδελφε,
Πνεῦμα τὸ Παράκλητον ὃν ἐφώτισεν
ἐν Σιών, Ἀνδρέα, σκέδασον
τὴν ἀχλὺν παθῶν ἡμῶν καὶ θλίψεων.

Οὐρανόφρον Ἀπόστολε,
κοίμισον τὰ πάθη ἡμῶν πρεσβείαις σου
καὶ τὸ πνεῦμα ἐξανάστησον
σοῦ τῶν ὑμνητῶν, Ἀνδρέα πάνσοφε.

Σωτηρίας, Πρωτόκλητε,
δεῖξον τρίβον πᾶσιν ὑμνολογοῦσί σε
ὡς Ἀπόστολον πανεύφημον,
θαυμαστὲ Ἀνδρέα, σκεῦος χάριτος.

**Θεοτοκίον.**

Τὰς λιτάς σου αἰτούμεθα
πρὸς τοῦ βίου θλίψεων ἀπολύτρωσιν,
Κεχαριτωμένη Δέσποινα,
ὢ Παραμυθία Μητροπάρθενε.

**Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.**

Ὅλῃ σε ψυχῇ
καὶ καρδίᾳ μεγαλύνομεν
ὡς Ἀπόστολον, Ἀνδρέα, θεαυγῆ,
ἁγιάσαντα τὰς Πάτρας ἐναθλήσει σου.

Λάμψον φῶς ἡμῖν
ἐπιγνώσεως καὶ νήψεως,
τοῖς τιμῶσί σε, Ἀνδρέα, ἐκτενῶς
ἁλιέα ὡς ψυχῶν θεοσαγήνευτον.

Ὄλβον ὡς σεπτὸν
τὰς πρεσβείας σου κατέχομεν

πρὸς Κύριον, Ἀνδρέα, καὶ Θεόν,
Οὗ Ἀπόστολος ἐδείχθης πνευματέμφορος.

**Θεοτοκίον.**

Ὕμνοις καὶ ᾠδαῖς
σέ, Παραμυθία, στέφοντες
καταφεύγομεν τῇ σῇ ἐπισκοπῇ
ἐν ἀνάγκαις καὶ παντοίαις περιστάσεσι.

**ᾨδὴ στ΄. Τὴν δέησιν.**

Ἱκέτευε τὸν Χριστόν, Πρωτόκλητε,
ὑπὲρ πάντων σου προσφύγων, Ἀνδρέα,
σὺν Καρπασίας κλεΐσματι, Θύρσῳ
τῇ ἀθληφόρῳ Βαρβάρᾳ, Ἀπόστολε,
καὶ Ἰωάννῃ Βαπτιστῇ,
ἐνορίας Πλατέος τοὺς φύλακας.

Κατάπαυσον τῆς σαρκὸς σκιρτήματα
τῶν σπευδόντων καθ’ ἑκάστην, Ἀνδρέα,
Ἀγλαντζιᾶς εἰς Πλατὺ προσκυνῆσαι
σὴν θείαν χάριν, Κυρίου Ἀπόστολε,
οὓς χειραγώγησον καλῶς
οὐρανῶν πρὸς ὑπέρφωτα δώματα.

Ἐπίβλεψον ἐκ τοῦ ὕψους δόξης σου
ἐπὶ πάντας ὑμνητάς σου, Ἀνδρέα,
ὧν Κυρηναῖος γενοῦ ἐν τῷ βίῳ
πρὸς τοῦ σταυροῦ ἆρσιν πόνων καὶ θλίψεων,
ὁ ἐν ταῖς Πάτραις σταυρωθεὶς
ἐκμιμούμενος πάθος Κυρίου σου.

**Θεοτοκίον.**

Συνέτισον ἀσυνέτους δούλους σου
καὶ παθῶν τοὺς ἐν σκιᾷ καθημένους
πρὸς ἀπαθείας κατεύθυνον φέγγος,
Παραμυθία, ὡς πάντων ἰθύντειρα
ἀπλανεστάτη εὐσεβῶν
σωτηρίας πρὸς τρίβον, Μητρόθεε.

Πρωτόκλητε
τῶν Ἀποστόλων Κυρίου, σοφὲ Ἀνδρέα,

ὁ Διδάσκαλον σὸν σεπτὸν ἡμῖν ἱλεούμενος,
τὴν χάριν σου δεῖξον σοῖς ὑμνηπόλοις.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως
ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

**Αἴτησις καὶ τὸ Κοντάκιον.**
**Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.**

Τὸν Αἰγεάτου πατήσαντα ἔπαρσιν
καὶ σταυρικὸν ὑπομείναντα θάνατον
ἐν Ἀχαΐᾳ, Ἀνδρέαν, τιμήσωμεν
ὡς χριστοκήρυκα θεῖον καὶ μάρτυρα,
αὐτοῦ ἐκθύμως τὴν χάριν αὐτούμενοι.

**Προκείμενον.** Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος Αὐτοῦ...
**Στίχος.** Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ....

**Εὐαγγέλιον· κατὰ Λουκᾶν. (Κεφ. ι΄ 16-21 )**
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει...

**Δόξα.**

Ταῖς τοῦ Ἀποστόλου
πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη
τῶν ἐμῶν ἐγκλημάτων.

**Καὶ νῦν.**

Ταῖς τῆς Θεοτόκου
πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη
τῶν ἐμῶν ἐγκλημάτων.

**Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**

**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ο Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Κύπρου φύλαξ ἄγρυπνε

καὶ ταχινὲ ἀντιλῆπτορ
πάντων τῶν ὑμνούντων σε,
θεαυγὲς Ἀπόστολε,
κῆρυξ χάριτος,
εὐσεβῶν πρόμαχε
καὶ ἐχθρῶν ὀλέτα,
ὁ σταυρὸν καταδεξάμενος
ὡς ὁ Θεάνθρωπος
καὶ διδάσκαλός σου πανθαύμαστος,
Ἀνδρέα χαριτόβρυτε,
ὁ φωτίσας φέγγει ῥημάτων σου
πᾶσαν οἰκουμένην,
διάλυσον τὴν ζόφωσιν παθῶν
καὶ ἀγνωσίας σκοτόμαιναν
τῶν μακαριζόντων σε.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...

**Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Ἱλεούμενος Κτίστην
μὴ ἐλλείπῃς, Ἀνδρέα,
τοῖς εὐφημοῦσί σε
ὡς Γαλιλαῖον ἄνδρα,
τοῦ Πρωτοκορυφαίου
Πέτρου θεῖον αὐτάδελφον,
ἀξιωθέντα ψυχῶν
γενέσθαι ἁλιέα.

Ἀχαΐα καυχᾶται
σῇ ἀθλήσει, Ἀνδρέα,
σεπτὲ Πρωτόκλητε,
ἡ πόλις Βυζαντίου
τῇ σῇ ἐπιτασίᾳ,
Καρπασία σῇ χάριτι
καὶ σκέπῃ Ἀγλαντζιᾶς
Πλατύ, πνευματοφόρε.

Ἴασαί μου τὰς νόσου
τῆς ψυχῆς καὶ σαρκίου,
Ἀνδρέα πάντιμε,
τοῦ σπεύδοντος ἐν πίστει
σὴν χάριν προσκυνῆσαι,
ἰατρὲ ἑτοιμότατε

ἁπάντων τῶν ἀλγεινῶς,
Ἀπόστολε, νοσούντων.

**Θεοτοκίον.**

Σκοτασμὸν ἁμαρτίας,
πειρασμῶν καὶ κινδύνων
ταχέως σκέδασον
φωτί, Παραμυθία,
Θεοῦ Ὑψίστου Μῆτερ,
πρεσβειῶν διαθέρμων σου
καὶ σωστικῶν πρὸς Αὐτόν,
ὑπερευλογημένη.

**ᾨδὴ η΄. Τὸν Βασιλέα.**

Φρούρει, Ἀνδρέα,
τοὺς σὲ τιμῶντας προθύμως
διαπρύσιον ὡς ἀληθείας
κήρυκα καὶ θεῖον
πρωταθλητὴν σταδίου.

Ῥῦσαι κινδύνων
καὶ συμφορῶν κατωδύνων
τοὺς πιστῶς ἀνυμνοῦντας, Ἀνδρέα,
χάριν ἣν κατέχεις
ὡς μαθητὴς Κυρίου.

Ὄμβρισον πᾶσι
τοῖς σὲ τιμῶσιν, Ἀνδρέα,
ὑετὸν προστασίας σου θείας.
ἀρωγὲ Πλατέος
Ἀγλαντζιᾶς, παμμάκαρ.

**Θεοτοκίον.**

Ὑμνολογοῦντες,
Παραμυθία, σὴν χάριν,
ἣν δεικνύεις πιστοῖς καθ’ ἑκάστην,

σπεύδομεν μορφήν σου
ἀσπάσασθαι τὴν θείαν.

**ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.**

**Δ**υνάμει πρεσβειῶν σου
πρὸς διδάσκαλόν σου,
τὸν Ζωοδότην, Ἀνδρέα, ἀπέλασον
τὰς ἀσθενείας τῶν πίστει καταφευγόντων σοι.

**Ὡ**ράϊσον εὐχαῖς σου
βίον σῶν προσφύγων,
ἀσπαζομένων, Ἀνδρέα, τὴν χάριν
ἐν τῷ Πλατεῖ καὶ ἐκθύμως μεγαλυνόντων σε.

**Χ**αρᾶς ἡμῶν, Ἀνδρέα,
πλήρωσον καρδίας
ὡς Ἀποστόλων Κυρίου Πρωτόκλητον
σὲ ἀνυμνούντων καὶ πάθους Αὐτοῦ ὁμόζηλον.

**Θεοτοκίον.**

**Μ**νημόνευε, Παρθένε,
σὺν σεπτῷ Ἀνδρέᾳ,
τῷ μαθητῇ τοῦ Υἱοῦ σου, Μητρόθεε,
ὑπὲρ τῶν πίστει καὶ πόθῳ μακαριζόντων σε.

Ἄξιόν ἐστι**.....καὶ τὰ παρόντα Μεγαλυνάρια.**

**Χ**αίροις, τοῦ Πλατέος Ἀγλαντζιᾶς
φύλαξ καὶ προστάτης
καὶ ἀκέστωρ καὶ ἀρωγός,
χαίροις, χριστωνύμων,
Πρωτόκλητε Ἀνδρέα,
φρουρὸς καὶ ἀντιλήπτωρ
ἐν περιστάσεσι.

**Χ**αίροις, ἡ ἀνάβλεψις τῶν τυφλῶν,
παραλύτων ῥῶσις,
θεραπεία τῶν ἀσθενῶν
καὶ ἀλάλων λύσις
τῆς ἀφωνίας, μάκαρ,

Πρωτόκλητε Ἀνδρέα,
σκεῦος τῆς χάριτος.

**Μ**αξιμίλλαν ἄνασσαν θαυμαστῶς
εἵλκυσας εἰς πίστιν

τοῦ Παντάνακτος Ἰησοῦ
καὶ τοῦ Αἰγεάτου
αὐτῆς συνεύνου μῆνιν
ἐπάτησας, Ἀνδρέα,
σὲ τοῦ σταυρώσαντος.

Πόριζε ὑψόθεν εἰρηνικὸν
βίον τοῖς οἰκοῦσιν
ἐν τῇ Κύπρῳ λαοῖς, σοφὲ
κῆρυξ ἀληθείας,
Ἀπόστολε Ἀνδρέα,
ὁμονοεῖν τοὺς πάντας
ὁ ὑφηγούμενος.

Χαίροις, ὁ ζωγρήσας ψυχὰς λαῶν
τῇ σαγήνῃ λόγων
θεοσόφων σου, ἁλιεῦ
Ἀχαιῶν, Ἀνδρέα,
καὶ πάσης οἰκουμένης,
διὰ Χριστοῦ ἀγάπην
ἣν περιώδευσας.

Χαίροις, εἰρηνεύσεως τῶν λαῶν
καὶ τῆς σωτηρίας
ὁ διδάσκαλος τῶν ψυχῶν,
χαίροις, Καρπασέων
ὁ θεῖος πολιοῦχος
καὶ ἔφορος, Ἀνδρέα
τῶν προστρεχόντων σοι.

Χαίροις, Καρπασέων φωταγωγέ,
ἀρχιθῦτα θεῖε
καὶ κοσμῆτορ καὶ ἀρωγέ,
χαίροις, ἀσκουμένων
ὁσίων ἐκμαγεῖον

καὶ ἀρετῆς ταμεῖον,
Θύρσε πανεύφημε.

Λύχνε, Ἰωάννη, προπορευθεὶς
θείου Φωτοδότου,
χαῖρε, ἄνερ θεοειδές,
ὁ χειραγωγήσας

Αὐτὸν ἐν Ἰορδάνῃ
ὢν δοῦλος, τὸν Δεσπότην,
τίμιε Πρόδρομε.

Χαίροις, ἡ φυγοῦσα τοῦ σοῦ πατρὸς
μῆνιν ἀναλγήτου,
καλλιμάρτυς, καὶ ἀσεβοῦς,
καὶ αὐτοῦ τῷ ξίφει
σὴν κάραν ἐκτμηθεῖσα,
Βαρβάρα, νεανίδων
ἔμπνουν ὡράϊσμα.

Τοὺς δεδουλωμένους, Μῆτερ Θεοῦ,
ἁμαρτίαις πλείσταις
καὶ ἐχθίστου ταῖς προσβολαῖς
λύτρωσαι λιταῖς σου
πρὸς Τόκον σου τὸν θεῖον,
ὑπερευλογημένη
Ἐλευθερώτρια.

Τῆς ἐπιεικείας τὴν κορυφὴν
καὶ τῆς συμπαθείας
πορφυρόχρωμον χρυσαυγήν,
νῦν Παραμυθίαν
γλυκεῖαν θλιβομένων
τιμήσωμεν ἐκθύμως
Θεογεννήτριαν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι πάντες,
μετὰ τῆς Θεοτόκου
ποιήσατε πρεσβείαν
εἰς τὸ σωθῆναι ἡμᾶς.

**Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**
**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Τὸν αὐτόπτην τοῦ Λόγου καὶ θεῖον κήρυκα,
ἔθνη ζωγρήσαντα πάντα
εἰς τὴν σαγήνην Χριστοῦ
ἁλιέα ὡς ψυχῶν ἐγκωμιάσωμεν

ὕμνοις, Ἀνδρέαν, θαυμαστὸν
Γαλιλαίας τὸν βλαστὸν
καὶ σέμνωμα οἰκουμένης,
εὐχὰς αὐτοῦ ἐκζητοῦντες
ἵνα ἐλέους θείου τύχωμεν.

**Ἕτερον Ὅμοιον.**

**Τ**ὸν Πρωτόκλητον δεῦτε Χριστοῦ Ἀπόστολον,
Ἀγλαντζιᾶς τοῦ Πλατέος
τὸν ἐναργῆ ἀρωγόν,
νήσου Κύπρου τὸν προστάτην καὶ συλλήπτορα
ὕμνοις καὶ φύλακα σεπτὸν
Καρπασίας ἐκτενῶς,
Ἀνδρέαν τὸν θεηγόρον,
ὡς πρὸς Θεὸν ἡμῶν πρέσβυν
ἐγκωμιάσωμεν θερμότατον.

**Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς·**
**Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.**

**Π**άντας ἐν Πλατεῖ Ἀγλαντζιᾶς
σπεύδοντας πιστῶς προσκυνῆσαι
τὴν σὴν ἁγίαν μορφὴν
καὶ ζητῆσαι χάριν σου,
σεπτὲ Πρωτόκλητε
τοῦ Κυρίου Ἀπόστολε,
θεόφρον Ἀνδρέα,
ῥύου περιστάσεων,
πανδείνων θλίψεων,
βλάβης τοῦ ἐχθροῦ καὶ κινδύνων,
ὁ ἐξ ἁλιέων ἰχθύων
ἁλιεὺς ψυχῶν ὀφθεὶς θεόσδοτος.

**Δ**έσποινα, πρόσδεξαι
τὰς δεήσεις τῶν δούλων σου
καὶ λύτρωσαι ἡμᾶς
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

**Τ**ὴν πᾶσαν ἐλπίδα μου
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

www.tezaurliturgic.ro


Δίστιχον.

Γεώργιον τιμῶντάς σε σκέπε, Ἀνδρέα,
ἀγαθὸν λευΐτην, βοᾷ Χαραλάμπης.

**Τ Ε Λ Ο Σ**

**Κ Α Ι Δ Ο Ξ Α**

**Τ Ω Μ Ο Ν Ω Α Λ Η Θ Ι Ν Ω**

**Θ ΕΩ Η Μ Ω Ν**

Ἀριθμ. Καταλ. Π 663 /9-10-15